### Περὶ Βεβαιωτικῶν.

Τὸ δὲ Βεβαιωτικὸν Ὅτι, ἀφηγηματικοῦ ἡγουμένου, ἀπὸ μὲν ἐνεςῶτος πρὸς ὁριςικὸν φέρεται· οἷον. Λέγει ὅτι ἥξει· ἀπὸ δὲ παρῳχημένου, πρὸς εὐκτικὸν· οἷον. Ἠγγέλλετο ὅτι γένοιτο.

### Περὶ Ἐρωτηματικῶν.

Τὰ δὲ Ἐρωτιματικὰ ὁριςικοῖς συντασσόμενα ῥήμασιν· οἷον. Πόθεν ἔρχῃ; Πῶς ἔχεις; διαπορητικῶς δὲ, πρὸς ὑποτακτικὸν φέρονται· οἷον. Ὁ Ἀςύοχος ἠπόρει, ὅποι βοηθήσῃ (Θουκυδ. ξυγγρ. Η΄. 61.)· Καὶ πρὸς εὐκτικὸν· οἷον· Ὁ δὲ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει ποῦ τὴν κεφαλὴν κλίνοι (Εὐαγγελ. Ματθ. ή. 20.).

### Περὶ Εὐκτικῶν.

Τὰ δὲ Εὐκτικὰ ἐπὶ μὲν μέλλοντι εὐκτικῷ συντάσσεται· οἷον· Εἴθε σοι γένοιτο! ἐπὶ δὲ παρεληλυθότων, ὁριςικῷ· οἷον. Εἴθε ἔγραψεν!

## Τῶν Συνδέσμων.

Τῶν δὲ Συνδέσμων διαφόρους συνδέσεις ποιούντων τῶν μερῶν τοῦ λόγου, καὶ τῶν λόγων, κατὰ τὴν χρείαν, πρὸς ἀποπλήρωσιν διανοίας αὐτοτελοῦς· διαφόρως ἕκαστοι συντάσσονται.

### Περὶ Συμπλεκτικῶν.

Τῶν μὲν γὰρ Συμπλεκτικῶν ὁ μὲν Τε καὶ ὁ Και συμφέρονται τὰ

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΓΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

πολλὰ, ὁ μὲν ἡγούμενος, ὁ δὲ Και ἐπιφερόμενος· οἷον· Ἄνδρες τε καὶ γυναῖκες διαλέγονται· ἀρκτικὸς δ᾽ ὑπάρχων ὁ Καὶ, καὶ ἕτερον συνεφέλκεται· οἷον· Καὶ περιπατεῖ Σωκράτης, καὶ διαλέγεται.

Ὁ δὲ Μεν συμφέρεται καὶ αὐτὸς τῷ Δε προτασσόμενος· οἷον· Ἐγὼ μὲν λέγω· σὺ δὲ ἀκούεις· λαμβάνονται δὲ μάλιστα ἐν τοῖς μερισμοῖς· ὅθεν καὶ Μεριστικοὶ καλοῦνται Σύνδεσμοι· οἷον· ὁ μὲν, ὁ δὲ· ὃς μὲν, ὃς δὲ· ποτὲ μὲν, ποτὲ δὲ· τῇ μὲν, τῇ δὲ· ἔνθα μὲν, ἔνθα δὲ· τοῦτο μὲν, τοῦτο δὲ· καὶ ἐν τοῖς τοιούτοις. Ἔστι δ᾽ οὗ καὶ τῷ Ἀλλὰ προτάσσεται ἐναντιωματικῷ· οἷον· Τυδεὺς μικρὸς μὲν ἦν τὸ σῶμα, ἀλλὰ μαχητής. Ὁ δέ τοι Δε καὶ μεταβατικὸς τυγχάνει ὢν, ὡς δι᾽ αὐτοῦ μάλιστα γινομένων τῶν περὶ τὰς ἐννοίας μεταβάσεων.

## Περὶ Διαζευκτικῶν.

Τῶν δὲ Διαζευκτικῶν ὁ μὲν Ἤτοι, ἡγεῖται ἀεὶ ἐν τῇ συντάξει τιθέμενος· ὁ δὲ Ἢ ἐπιφέρεται· συνεπιδέουσι δὲ τὰ τῇ φύσει διεζευγμένα· οἷον· ἤτοι ἡμέρα ἐστὶν, ἢ νύξ· ἢ ζῇ, ἢ τέθνηκε.

## Περὶ Συναπτικῶν.

Ὁ δὲ Συναπτικὸς Εἰ δύο ἀτελεῖς συνάπτει ἐννοίας· οἷον· Εἰ ἐπιμελεῖται τῶν μαθημάτων, σοφὸς γενήσεται. Καὶ ἐπὶ μὲν μέλλοντος πράγματος, εἰ μὲν ἡ δευτέρα ἔννοια ἐνδοιαζομένη τυγχάνει, εὐκτικῇ συντάσσεται μάλιστα, ἐν εὐκτικῷ μετὰ τοῦ ἂν καὶ τὴν δευτέραν συνεπισπώμενος ἔννοιαν· οἷον· Εἰ ἀστράψειε, κεραυνὸς ἐπισκήψειεν ἄν. εἰ δὲ ὁμολογουμένη εἴη ἡ δευτέρα ἔννοια, ὁριστικῷ ἐνεστῶτι ἢ μέλλοντι ἑκατέρας τὰς ἐννοίας συνάπτει· οἷον· Εἰ βρέξει, εὐφορία γενήσεται. Εἰ καθεύδει, οὐ κινεῖται· ἐπὶ δὲ παρῳχημένων ἐν ὁριστικῇ ἀεὶ κατὰ τὸ παρῆκον τίθεται ἑκατέρα τῶν ἐννοιῶν· οἷον· Εἰ ἐμάνθανον, οὐκ ἂν ἠγνόουν.

## Περὶ Αἰτιολογικῶν.

Τῶν δὲ Αἰτιολογικῶν ὁ μὲν Ἀποτελεστικὸς Ἵνα, Ὅπως, καὶ τὰ ὅμοια, ἀπὸ μὲν ἐνεστῶτος καὶ μέλλοντος πρὸς ὑποτακτικὸν φέρεται· οἷον· ἥκω, ἥξω, ἵνα ἢ ὅπως μάθω· ἀπὸ δὲ παρῳχημένου πρὸς εὐκτικόν· οἷον· ἧκεν, ἵνα ἢ ὅπως μάθοι· ὁ δὲ Ἵνα καὶ πρὸς ὁριστικὸν ἐσθ' ὅτε, ὡς εἰκὸς, εἰ περὶ παρῳχημένου ὁ λόγος εἴη· οἷον· Ἵνα μὴ μάτην ἐνίους ἐθεράπευον; (Λουκιαν. ν. δ. Τερψ. Πλουτ.). Οὕτω καὶ, Ἐχρῆν αὐτῷ λαβεῖν συγγραφὴν, ἵν' εἶχεν ἀπαιτεῖν κατὰ νόμους.

Ὁ Ἵνα δὲ αἰτιολογικῶς λαμβανόμενος ἀπὸ παρῳχημένου πρὸς ὑποτακτικὸν ἀποδίδοται· οἷον· Σωτάδης πολὺν χρόνον ἔκλαυσεν ἐν εἱρκτῇ, ἵνα γέλωτα παράσχῃ τοῖς ἄλλοις (Πλούταρχ. περὶ Παίδ. ἀγωγ.). σπάνιον δὲ τοῦτο.

Ὁ δὲ Ὅπως παραγγελματικὸς μὲν πρὸς μέλλοντα· οἷον· Σκοπεῖτε, ὅπως μὴ λόγους ἐροῦσιν· ἄλλως δὲ τροπολογικὸς ὢν πρὸς ὁριστικὸν κατὰ πάντα χρόνον· οἷον· Ὅταν οὖν ἐθέλῃς γινώσκειν, ὅπως σοι χρήσεται φίλῳ ἄνθρωπος οὗτος, γινώσκειν πρῶτον χρὴ, ὅπως ἐχρήσατο τῷ πατρὶ, ἢ ὅπως τῷ ἀδελφῷ χρῆται, ἢ ὅπως ἔχει πρὸς τὴν γυναῖκα (Θεμιστ. περὶ Φιλίας.).

Τὸ Ἐφ' ᾧ αἰτιολογικῶς μὲν πρὸς παρῳχημένον φέρεται· οἷον· Ἐφ' ᾧ ἔγραψεν· ἀποτελεστικῶς δὲ, πρὸς μέλλοντα καὶ ἀπαρέμφατον· οἷον· Ἐφ' ᾧ κομιοῦνται τοὺς ἄνδρας. Ἐφ' ᾧ ἐλθεῖν.

Τὸ δὲ Ἕνεκα, Ἕνεκεν, γενικῇ συντάσσεται· οἷον· Ἕνεκά σου θανατούμεθα.

## Περὶ Ἐναντιωματικῶν.

Τῶν δ' Ἐναντιωματικῶν ὁ μὲν Καίπερ μετοχῇ συντάσσεται ἀεί· οἷον· ὑποχωρήσασι δὲ, καίπερ χαλεπὸν ὂν, εὔπορον ἔσται (Θουκυδ. ξυγγραφ. Δ'. ι.)· ὁ δὲ Καίτοι, καὶ μετοχῇ καὶ ῥήματι· οἷον· Καί

τοι φαίη τις παραμυθούμενος (Λουκιαν. Προμηθ.). Καίτοι σύγε οὕτω σοφώτερος ὢν (Λουκιαν. Τίμ.).

## Περὶ Ἀπορηματικῶν.

Οἱ δ᾽ ἀπορηματικοὶ πρὸς ὁριστικὸν φέρονται· οἷον. Ἆρα καταδῆλον ἐςὶν (Πλάτ. Εὐθύφ.). Καὶ πρὸς εὐκτικὸν μετὰ τοῦ ἂν· οἷον. Ἆράγ᾽ ἂν ἔθ᾽ ἡμῖν μέλοι τι (Πλάτ. Φαῖδρ.). Ἐὰν δὲ πρὸς πρῶτον πρόσωπον, πρὸς ὑποτακτικόν· οἷον. Πότερον σιωπῶ, ἢ λέγω.

## Περὶ Ἀοριςολογικῶν.

Ὁ δὲ Ἐὰν, Ἢν, Ἂν, Κἂν, ἀοριςολογικοὶ ὄντες, ἀεὶ πρὸς ὑποτακτικὴν φέρονται ἔγκλισιν· οἷον. Ἐὰν διδάξω. Ὅσα ἂν λέγῃς. Ἤν τι καὶ μὴ παρακαλῇ σφᾶς (Θουκυδ. ξυγγρ. Η΄. β΄.). Κἂν ἐξέλθῃ πρῶτον ἀπὸ ςόματος (Θέογν. ςιχ. 610.).

## Περὶ Δυνητικοῦ.

Ὁ δὲ Δυνητικὸς Ἂν κατὰ μὲν ἐνεστῶτος καὶ μέλλοντος πράγματος πρὸς εὐκτικὸν, μετοχήν τε, καὶ ἀπαρέμφατον φέρεται κατὰ τὴν διάφορον τοῦ λόγου ἀκολουθίαν· οἷον· εἴποις ἂν, εἰπόντας ἂν, εἰπεῖν ἂν· κατὰ δὲ παρήκοντος πρὸς ὁριςικὸν, ἀδιαφόρως τοῖς χρόνοις, πλὴν τοῦ παρακειμένου· οἷον· Οὐκ ἂν εἶπες ταῦτα, ἢ ἔλεγες, Οὐκ ἂν ἐτεθνήκει ἡμῶν ὁ ἀδελφὸς (Εὐαγγελ. Ἰων. ιά.). Ἐνίοτε δὲ καὶ πρὸς ὁριςικὸν μέλλοντα· οἷον· Οὐκ ἂν ὁ ἀριθμός σε ἀκούσαντα εὐφρανεῖ (Ξενοφ. Κύρ. Παιδ. Β΄. ά. 2.).



ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Π
ΙΩΑΝΝΙΝΑ 2006

## Περὶ Παραπληρωματικῶν.

Οἱ δὲ Παραπληρωματικοὶ, εἴγε καὶ παρὰ ποιηταῖς πολλάκις τὴν φράσιν παραπληροῦσι, μέτρου ἢ κόσμου χάριν παραλαμβανόμενοι, παρὰ λογογράφοις μέντοι οὐχ εἰκῇ ἐν τῷ λόγῳ τίθενται· ἀλλὰ σημαίνουσί τι προσκείμενοι· οἷον· ὁ Γε, Γοῦν, μείωσιν· ὁ Που, τόπον· ὁ Πως, τρόπον· ὁ Πω, χρόνον· καὶ ἄλλας διαφόρους ἕκαστος σημασίας μεταλαμβάνουσι κατὰ τὴν χρείαν ἐν τῇ συντάξει· ἢ γοῦν ἔμφασίν τινα καὶ κόσμον ἐπιδεικνύουσιν ἐν τῷ λόγῳ· καὶ οὐ παντάπασι περιττῶς κεῖνται. Ὅθεν τὴν χρῆσιν μάλιστα παρατηρητέον αὐτῶν, καὶ οὕτω καὶ ὄνομα θετέον τοῦ σημαινομένου ἑκάστου· οὐδὲ γάρ ἐστιν ἄλλως ἐπ' ἀκριβείας τι περὶ αὐτῶν εἰπεῖν.

# ΤΜΗΜΑ ΤΡΙΤΟΝ.

## *ΜΟΡΙΑ·*

### Ἢ περὶ τῆς διαφόρου τῶν Μορίων λήψεως ἐν τῷ λόγῳ καὶ τῶν ἐξ αὐτῶν φράσεων.

*Κυρίως* μὲν μόριά εἰσιν οἱ Σύνδεσμοι· οἷον· Ἀλλὰ, Γὲ, Μὲν, Δὲ, καὶ τλ. Καταχρηστικῶς δὲ, ἔστιν ἐκ πάντων τῶν μερῶν τοῦ λόγου λαβεῖν μόρια· οἷον· Ὅσον, Οἷον, Φέρειν, Ἀμέλει· καὶ τὰ τοιαῦτα.

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

## *Περὶ τῶν Κυρίως Μορίων.*

Τῶν τοίνυν κυρίως μορίων διαφόρως ἐν τῇ συντάξει ποικιλομένων, ἔστι.

### Ὁ μὲν Ἀλλά.

α. Συμπλεκτικὸς ἐν τοῖς κατ' ἀναίρεσιν καὶ συμπλοκὴν· οἷον Οὐ μόνον ἐγρήγορσις, ἀλλὰ καὶ ὕπνος εὑρέθη· οὐδὲ πόλεμος, ἀλλὰ καὶ εἰρήνη (Πλούταρχ. περὶ Παίδ. ἀγωγ.). β΄. Ἐναντιωματικὸς· ἐνδοτικοῦ ἡγουμένου, ἢ βεβαιωτικοῦ· οἷον. Πλοῦτος τίμιος μὲν, ἀλλὰ τύχης κτῆμα (Πλούταρχ. περὶ Παίδ. ἀγωγ.). Κἂν μὴ σὺ λέγῃς, ἀλλ' ἀπὸ τοῦ δέρματός γε φαίνῃ (Αἰσώπ. μῦθ. Ἀλώπ. *Κροκόδ.*). γ΄. Θετικὸς· ἄρσεως ἡγουμένης· οἷον· Μέτρον δ' αὐτῷ οὐχ' ἡ ψυχὴ, ἀλλ' ὁ νόμος (Ξενοφ. Κύρ. Παιδ. Ά. γ΄. 15.). δ΄. ἀντιθετικὸς· ὅτε ὁμολογεῖται τὸ τοῦ προσδιαλεγομένου, καὶ ἀντιτίθεται ἕτερον· οἷον. Ἀλλ' ἐμὲ ἀμαθῆ φήσουσι κατηγοροῦντα τῆς σοφίας αὐτῶν (Λουκιαν. ν. δ. Διογ. Πολυδ.). ἀντὶ Εὖ λέγεις, ἀλλά. έ. Ἐλαττωτικὸς· οἷον. Οὐκοῦν, ἀλλὰ τό διάδημα ἔασόν με ἔχειν (Λουκιαν. ν. δ. Χαρ. Ἑρμ. καὶ ἄλ.). ς΄. Ἀπορηματικὸς· οἷον. Ἦπου βασιλεὺς ἦσθα. Οὐδαμῶς. Ἀλλὰ σατράπης. Οὐ δὲ τοῦτο (Λουκιαν. ν. δ. Διογ. Ἀντισθ. Κράτ.). ζ΄. Συλλογιστικὸς· οἷον. Εὖγε, ὦ Ἥφαιστε, ἀλλὰ διελέ μου τὴν κεφαλὴν (Λουκιαν. θ. δ. Δίας· καὶ Ἡφ.). ή Βεβαιωτικὸς· οἷον. Καὶ προσκυνήσας εἶπε. Χαῖρε ὦ Κῦρε· ἀλλὰ ποιῶ ταῦτ' ἔφη (Ξενοφ. Κύρ. Παιδ. β΄. ά. 5.). θ΄. Ἐπιλεκτικὸς· οἷον. Ἀλλ' ὦ Ζεῦ μέγιστε (Ξενοφ. Κύρ. Παιδ. Ε. έ. 12.)! ί. Ἀντὶ τοῦ μόνον· οἷον. Ἀκοῦσαι οὐδὲν κωλύει, ἀλλὰ λέγε (Ξενοφ. Κύρ. Παιδ. Ε. έ. 9.). Καὶ ἐκ παραλλήλου· οἷον. Ἀλλὰ μόνον λέγε (Πλάτ. Πολ. Β΄.). ιά. Εὐκτικὸς· οἷον. Ἀλλ' ἐπιτριβείην, εἴτι ἔψευσμαι (Λουκιαν ἐν Ἐρατ.). ιβ΄·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

Προσθετικὸς· ἑπομένου Καὶ· οἷον. Ἀλλὰ καὶ οἱ πάνυ γεγηρακότες ὀδύρονται (Λουκιαν. ν. δ. Διογ. Αντ. Κρ.). ιγ'. Ἐξαιρετικὸς μετὰ τοῦ ἢ· Ἔνθ' ἐσθ' ὅτε προηγεῖται καὶ τὸ πλὴν· οἷον. Οὐ γὰρ ἄνθρωπον ὑγιάζει ὁ ἰατρεύων, πλὴν ἀλλ' ἢ κατὰ συμβεβηκὸς (Ἀριϛ. Μεταφ. Ά.) ιά. Διαφορικὸς· οἷον. Μηδένα ἕτερον εἶναι τὸν φονέα, ἀλλ' Ἀρίϛαρχον (Δημοσθ. κατὰ Μηδ.). Καὶ μετὰ τοῦ ἢ· Οὐδὲν ὑπολείπεται, ἀλλ' ἢ ποιεῖν προθύμως (Πλάτων. Φαῖδρος.).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΚΑΘΗΓΗΤΗΣ Π. ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Ὁ δὲ Ἀλλὰ γὰρ, Ἀλλὰ δὴ, καὶ Ἀλλάγε.

Ἐναντιωματικοί εἰσι καὶ Συμπερασματικοὶ· ὁ δ' Ἀλλά γε καὶ μειωτικὸς· τούτων δὲ πολλάκις τὰ δεύτερα μόρια τίθεται καὶ μετὰ μίαν ἢ πλείους λέξεις χαριέντως· οἷον. Ἀλλ' οἱ πρυτάνεις γὰρ αὐτοιὶ (Ἀριϛοφ. Ἀχαρ. ϛίχ. 40.). Ἀλλ' ἐκεῖνος γε συλλαβὼν τὸ παιδίον (Αἰλ. ποικ. ἱϛορ. Ά. λϛ'.). Ἀλλ' ὅδε γὰρ δὴ βασιλεὺς χώρας (Σοφοκλ. Ἀντιγ. ϛίχ. 163.).

## Ὁ δ' Ἀλλαμὴν.

Προσθετικὸς, Συλλογιϛικὸς, Βεβαιωτικὸς, Ἐναντιωματικὸς. Τίθεται δὲ καὶ τούτου τὸ Μὴν, μετὰ μίαν ἢ πλείους λέξεις· οἷον. Ἀλλὰ τί μήν (Ξενοφ. Κύρ. Παιδ. Β'. β'.).

## Ὁ δ' Ἀλλ' οὐ καὶ Ἀλλὰ μή.

Συγκριτικοί εἰσι, τὸ μᾶλλον ἢ σημαίνοντες· οἷον· Τί δέ; χρυσοχοήσοντας οἴει τούσδε ἐνθάδε ἀφῖχθαι, ἀλλ' οὐ λόγων ἀκουσομένους (Πλάτ. Πολιτ. έ.). Ἤτοι μᾶλλον ἢ λ. ακ. Καὶ χωρὶς δὲ ἕκαϛον μόριον τὴν ἰδίαν φυλάττει σημασίαν· οἷον. Ἀλλ' οὐκ ἂν ἀγροίκως γε, οἶμαι, λοιδορήσειαν (Πλάτ. Φαῖδρ.).

Ε.Υ. Δ/ΝΣΗΣ Κ. ΤΠ ΙΩΑΝΝΙΝΑ 2006

### Ὁ δ' Ἀλλ οὖν, Ἀλλ' οὖν γε.

Βεβαιωτικοί εἰσι μετ' ἑτοιμότητος, Ἐναντιωματικοὶ, Θετικοὶ, καὶ Συλλογιστικοί.

### Ὁ δ' Ἀλλάτοι, Ἀλλάτοι καὶ, Ἀλλὰ καίτοι.

Ταὐτοσήμως λαμβάνονται, καὶ Ἐναντιωματικοί εἰσιν· οἷον. Ἀλλά τοι κἀμέ τοι ταὐτὸ τοῦτο δ' ὄψει δρῶντα (Φιλοκτητ. Νεοπτολ.).

### Ὁ δ' Ἄν.

Δυνητικὸς μὲν καὶ Ἀοριςολογικός ἐςιν, ὡς εἴρηται· ἔςι δέ τοι καὶ παραπληρωματικὸς· δὶς ἐν τῷ λόγῳ τιθέμενος· καὶ Βεβαιωτικὸς, ὁριστικῷ συντασσόμενος· οἷον· οὐκ ἂν ἀπέθανέ μου ὁ ἀδελφὸς (Εὐαγγελ. Ἰωάν. ιά. 32.).

### Ὁ δ' Ἄρα.

ά. Συμπερασματικὸς· οἷον. Εἰσὶ βωμοὶ, εἰσὶ καὶ θεοὶ, ἀλλά μὴν εἰσὶ βωμοὶ, ἄρα καὶ θεοὶ (Λουκιαν. Ζεὺς Τραγῳδ.). β'. Βεβαιωτικὸς· οἷον. Ναὶ μὰ Δία ἀνόητος ἄρα ἐςὶν (Ξενοφ. Κύρ. Παιδ. Β'. β'. 8.). γ'. Θαυμαςικὸς· οἷον. Ω Ζεῦ, καὶ θεοὶ, οἵους ἄρα ἡμεῖς ἔχομεν ἄνδρας ἑτέρους (Ξενοφ. Κύρ. Παιδ. Β'. β'. 3.)! δ'. Εἰκαςικὸς· οἷον. Σκοπῶμεν μὲν, μὴ ἄρα ἐξαπατώμεθα (Πλάτ. Ἱππ. μείζ.) έ. Τοῦ ἐναντίον ὑποθετικὸς· οἷον. Ἢν δέ τι ἄρα προσδέομαι, οὗτος διδάξει (Ξενοφ. Κύρ. Παιδ. Ά. γ'.). ς'. Διςακτικὸς· Μήδ' αὖ, εἴποτε ἄρα ἄνευ μάντεως γένοιο, ἀποροῖς (Ξενοφ. Κύρ. Παιδ. Ά. 5. 2.) ζ'. Ἐξαιρετικὸς· οἷον. Εἰμὴ ἄρα τῆς ἀρετῆς ἐπιμέλεια, διαφθορά ἐςιν (Ξενοφ. Ἀπομν. Ά. β'. 8.). ή. Τοῦ Ἔοικε σημαντικὸς· οἷον. Ἔ-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΜΗΜΑ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΑΣ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ΙΩΑΝΝΙΝΑ 2006 Κ.τ.λ.

μελλεν ἄρα μηδὲ ὁ καθ' ἡμᾶς βίος ἄμοιρος ἔσεσθαι (Λουκιαν. Δημόνακτ. βίος.). θ'. Παραπληρωματικὸς· οἷον. Καὶ τί ἄρα οἴει παθεῖν καλὸν φιλήσας (Ξενοφ. Ἀπομν. Ἀ. γ'. 11.); ί. Ἀπορηματικὸς· ὃς καὶ περισπᾶται· οἷον· ἆραγ' ἂν ἔθ' ἡμῖν μέλοι τι τῶν ἀνθρώπων (Πλατ. Φαῖδρ.).

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΝΕΟΘ ΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Τὰ δ' ἅτε, ἅτε δὴ, ἅτ' οὖν, ἅτεπερ.

Ὁμοιωματικά ἐστι, πρὸς Μετοχὴν φερόμενα, ὁμολογουμένην ἐκ γοῦν τῆς τοῦ λέγοντος γνώμης, ἔχοντα τὴν ἔννοιαν· οἷον. Προὐτρέπετο αὐτὸν, ἅτε δὴ βασιλέα, τὸν θησαυρὸν ἀνελέσθαι (Αἰσωπ. Ἀλωπ. Πίθηκ.). Οἱδ' Ἀσσύριοι, ἅτε καὶ τεθνηκότος τοῦ ἄρχοντος, ἠθύμουν πάντες (Ξενοφ. Κύρ. Παιδ. Δ'. έ. 3.). Ἅτ' οὖν θεοῦ διανοίᾳ, νῷ τε, καὶ ἐπιστήμῃ ἀκηράτῳ στρεφομένη (Πλάτων. Φαῖδρος.). Πολέμων ἐπιθυμητὴς, ἅτεπερ ἄζυξ (Ἀριστοτ. Πολιτ. Ἀ. β'.).

## Τὸ δ' ἄλλως τε καὶ, ἄλλως τε κἂν.

Πρὸς τῷ ἰδίῳ σημαινομένῳ καὶ ἀντὶ τοῦ Μάλιστα λαμβάνονται· οἷον· ἄλλως τε καὶ τὸ χρήσιμον ἀφαιρεῖται (Λουκιαν. ν. δ. Ἀλεξ. Φιλιπ.). ἄλλως τε κἂν ὅμορον χώραν ἔχωσι (Δημοσθ. Ὀλυνθ. Ἀ.).

## Ὁ δὲ Γάρ.

Κατασκευαστικὸς, καὶ Βεβαιωτικὸς ἐν τοῖς διαλέξεσιν· οἷον· Ἦ γάρ; Οὐ γάρ; Λέγω γὰρ οὖν. Παραπληρωματικὸς ἐν ἐρωτήσει· οἷον· Σὺ γὰρ ἂν κώμην ἀποστήσαις; σὺ γὰρ ἂν προσέλθοις (Αἰσχ. κατὰ Κτησιφ.); Καὶ ἐν ἐπιφωνήσει· καὶ ἐν διηγήμασιν· οἷον· Ἐπιδεῖξαι θέλω τὸ συμβεβηκὸς, τίποτε ἐννοεῖ· ἡ γὰρ εἰωθυῖα καὶ τλ· (Πλάτ. Ἀπολογ. Σωκράτ.).

Ε.Υ. της κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

### Ὁ δὲ Γέ.

Ἐλαττωτικός· οἷον· ἀπὸ τοῦ δέρματός γε φαίνῃ (Αἰσώπ. ἀλώπ κροκόδ.). Αἰτιολογικὸς ἢ Κατασκευαστικὸς, καὶ Ἐναντιωματικός· οἷον· Ὥστε εἰ μὴ πολίτης ἦν, διά γε τοῦτο δίκαιος ἦν τὴν πόλιν εὖ ποιεῖν (Ἰσαῖος περὶ δικαιολ. κλήρ.). Βεβαιωτικὸς ἐν τοῖς διαλόγοις, καὶ Παραπληρωματικὸς, κόσμου χάριν λαμβανόμενος· οἷον· Ὅς γε, ἥ γε, τό γε.

### Ὁ δὲ Γεμήν.

Ἐναντιωματικός ἐστι, Συμπερασματικὸς, καὶ Προσθετικός.

### Ὁ δὲ Γέτοι·

Αἰτιολογικὸς, Βεβαιωτικὸς, Ἐναντιωματικὸς καὶ Ἐλαττωτικός.

### Ὁ δὲ Γοῦν.

α΄. Ἐλαττωτικός· οἷον· Οὐχ Ἕλληνες ἀπὸ γοῦν τοῦ σχήματος (Λουκιαν. Χάρ. ἢ Ἐπισκοπ.). β΄. Εἰρωνικός· οἷον· Πάνυ γοῦν, οὐχ ὁρᾷς (Λουκιαν. ἐν μισθοφ.). γ΄. Βεβαιωτικός· οἷον· Εἰκὸς γοῦν (Ξενοφ. Ἀπομν. Γ. ϛ΄. 5). δ΄. Ἐναντιωματικός· οἷον· Ὅρα γοῦν μὴ τὸ ἐναντίον ἐστί (Λουκιαν. δ. Διογ. Ἡρακλ.). ε΄. Συλλογιστικός· οἷον· Ἔδοξε γοῦν ξυναγαγόντι δρόμῳ βιάσασθαι (Θουκ. ξυγγρ. Α. ξγ΄.). ϛ΄. Αἰτιολογικός· οἷον· Εἰ γοῦν ᾔδεσαν, ὁπόσα τῶν ἀνθρώπων ἕνεκα πάσχομεν (Λουκ. δὶς κατηγ.). ζ΄. Παραπληρωματικὸς, κόσμου χάριν λαμβανόμενος.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΜΕΣΑΙΩΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΙΣΤΟΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ ΠΕΤΣΙΟΣ
Ε.Υ.Δ της Κ.τ.Σ. ΙΩΑΝΝΙΝΑ 2006

## Ὁ δὲ Δέ.

ά. Συμπλεκτικός. ἐπακολουθῶν τῷ μὲν, καὶ ἑαυτῷ, ὡς εἴρηται. β΄. Αἰτιολογικὸς, ἐν ταῖς παρενθέσεσιν· οἷον· Τοῦτ᾽ οὖν δεῖ προσεῖναι τὰ δ᾽ ἄλλα ὑπάρχει (Δημοσθ. Ὀλυνθιακ. Γ΄.). γ΄. Μεταβατικὸς ἀπὸ ἐννοίας εἰς ἔννοιαν· οἷον· Εἶεν· τῶν δὲ δὴ χρόνων διὰ τὶ. (Δημοσθέν. περὶ Παραπρεσβ.). δ. Προσθετικὸς ἡγουμένου τοῦ Καὶ· οἷον· Δίκαιον γὰρ αὐτοῖς, καὶ πρέπον δὲ ἅμα (Θουκυδ. ξυγγρ. Β΄. λϛ΄.). έ. Θετικός· οἷον· Οὐ τῆς πόλεως, τοῦ δὲ πεποιηκότος (Λιβάν. πρεσβ. Β΄.). ϛ΄. Ἐξηγηματικός· οἷον· Πόσον ἐστὶν ἰσχὺς ἀνθρωπίνη τῆς τῶν ἄλλων δυνάμεως, λέγω δὲ, οἷον ἐλεφάντων, κτλ. (Πλούταρχ. περὶ παίδ. ἀγωγ.). ζ΄. Παραπληρωματικός· οἷον· Ἃ δὲ αἰσχύνην φέρει ἡμῖν, ταῦτα δὲ κατὰ χώραν μένει (Ἰσοκράτ. Πανηγυρικός.).

## Ὁ δὲ Δ᾽ οὖν.

ά. Ἐναντιωματικός· οἷον· Τί δ᾽ οὖν σοι τὸ δεινὸν (Λουκιαν. ν. δ. Μεν. Ταντάλ.)· β΄. Συλλογιστικός· οἷον· Πότε δ᾽ οὖν ἀποδώσειν φὴς (Λουκ. ν. δ. Ἑρμ. Χάρ.). γ΄. Κατασκευαστικός· οἷον· Λέγεται δ᾽ οὖν περὶ μὲν Ἀμαζόνων (Ἰσοκρ. Πανηγυρ.).

## Ὁ δὲ Δή.

ά. Περιγραφικός, ἐπὶ τέλει ἐννοίας τιθέμενος· οἷον· Ἡ μὲν δὴ νῆσος ὧδε ἐπυρπολεῖτο (Ἡλιοδ. Αἰθιόπ. Β΄.). β΄. Μεταβατικός· οἷον· Φέρε δὴ καὶ τὸν καλὸν κατάλογον (Δημοσθ. περὶ Στεφάν.). γ΄. Βεβαιωτικὸς, ἐν τοῖς, ὃς δὴ, οἷον δὴ, οὕτω δή. δ΄. Παρακελευστικός· οἷον· Λέγε δὴ καὶ τὴν ἑτέραν μαρτυρίαν (Δημοσθ. κατὰ Ὀλυμπιοδ.). έ· Συλλογιστικὸς, ἐν τοῖς συμπεράσμασιν· οἷον· Δεῖ δὴ χρημάτων (Δημοσθ. Ὀλυνθιακ. Ά.). ϛ΄. Αἰτιολογικός· οἷον· Εἰ δὲ δή τις ἐξ

ἀρχῆς τὰ πράγματα φαινόμενα βλέψειεν (Ἀριστ. Πολιτ. Α. β.). ζ. Τὸ μάλιστα· οἷον· Ἐν ἄλλοις τε πολλοῖς, καὶ δὴ καὶ ἐν τοῖς κάμνουσι (Ξενοφ. Κύρ. Παιδ. Α. ς΄. 18.). ή. Παραπληρωματικὸς, ἔμφασιν ἢ ἐπίδειξιν σημαίνων· οἷον· Ἃ δὴ μάλιστα τῶν Μουσῶν (Πλάτ. Φαίδων.)·

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ: ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ

## Ὁ δὲ Εἰ.

ά. Ὑποθετικός· οἷον· Εἴ ἐστιν ἄνθρωπος, ἔστι ζῶον. β΄. Αἰτιολογικός· οἷον· Δικαιότατον μὲν, εἴγε ὁ μὲν ζῇ (Λουκιαν. ν. δ. Πλουτ. Τερψ.). γ΄. Διστακτικός· οἷον· διαλέγονται κεχηνότες, εἴ ποθεν εἰς αὐτοὺς καταπτοῖο (Λουκιαν. δὶς κατηγορ.). δ΄. Εὐκτικός· μόνος τε καὶ προσλήψει τῆς θε· οἷον· Εἴθε γένοιτο. Εἰ γὰρ γένοιτο, ὅτι ἐγώ σοι ἂν γενοίμην χρήσιμος (Ξενοφ. Κύρ. παιδ. ς΄. ά. 21.). έ. Ἀναλυτικὸς ἀπαρεμφάτων καὶ μετοχῶν· οἷον· Μὴ νεμεσήσητέ μοι, εἰ βασιλικῷ ἀνδρὶ ἐμαυτὸν εἴκασα (Λουκιαν. Σκύθ. ἢ πρόξεν.). ἀντὶ εἰκάσαντα. ς΄. Ἀοριστοδιαζευκτικὸς μετὰ τοῦ Τε· Εἴτε οὕτως, εἴτε ἄλλως. ζ΄. Ἀπορηματικός· οἷον· Ἠρώτησεν, εἰ πάλαι ἀπέθανεν (Εὐαγγελ. Μάρκ. ιέ. 44). ή. Ἐξαιρετικὸς μετὰ τοῦ μή· οἷον· Καὶ τῷ γε δῆλος ἦν, εἰ μή γε προῄδον (Αἰσχ. περὶ παραπρ.). ί. Ἀντὶ τοῦ ὅς τις, ἥ τις, ὅ, τι· οἷον· Εἴ τις ἀρετὴ, καὶ εἴ τις ἔπαινος· Εἴ τι ζῶον λογικὸν, τοῦτο ἄνθρωπος.

## Τὸ δὲ Εἶτα, ἢ Ἔπειτα.

ά. Τακτικόν· οἷον· Πρῶτον μὲν ἡμῶν ὁ ἄρχων συνορίδος ἡνιοχεῖς, εἶτα τῶν ἵππων (Πλάτ. Φαίδρ.).

β΄. Χρονικόν· οἷον· Εἶτ' ἐγένετο ἐξαίφνης κόραξ (Ἀριστοφ. Σφῆκ. 364.).



Ε.Υ.Δ της Σ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

γ΄. Ἀπορηματικὸν μετὰ θαυμασμοῦ καὶ ἀγανακτήσεως· οἷον· Εἶτα αἱ χίλιαι νῆες διὰ τοῦτο ἐπληρώθησαν ἐξ ἁπάσης τῆς Ἑλλάδος (Λουκιαν. ν. δ. Μενίπ. Ἑρμ.).

## Ὁ δὲ Ἤ.

ά. Διαζευκτικὸς, πρόσωπα διαζευγνύων· οἷον· ἢ Αἴας, ἢ Ἰδομενεὺς, ἢ Ὀδυσσεὺς· ἢ τὰ ἐναντία· ἢ ζωὴ, ἢ θάνατος, ἢ ἡμέρα, ἢ νὺξ. β΄. Παραδιαζευκτικὸς, πράγματα διαζευγνύων. οἷον. Δός μοι χρυσὸν, ἢ ἄργυρον. γ΄. Διασαφητικὸς, ἢ Ἀναιρετικὸς· οἷον. Ἀγαθῷ δὲ, περὶ οὐδενὸς γίνεται φθόνος, οὔτε φόβος, οὔτε ὀργὴ, ἢ μῖσος (Πλούταρ. πρὸς Ἐπίκουρ.). δ΄. Διαπορητικὸς· οἷον· πότερον τοῦτο, ἢ ἐκεῖνο· καὶ περισπωμένως· οἷον. Ἦπου βασιλεὺς ἦσθα; Οὐδαμῶς (Λουκιαν. ν. δ. Διογ. Ἀντισθ.). έ. Συγκριτικὸς· οἷον. Μεῖζον ἢ φέρειν· μᾶλλον ἢ τοῦτο. ζ΄. Λυτικόν Τίδήποτε ἀγνοεῖ τὸ τοῦ ἢ σημαινόμενον; ἢ ὅτι οὐδέποτε ἔμαθε (Θεόδ. Γαζ. Γραμματ. δ΄.). ή. Θετικὸς, ἄρσεως ἡγουμένης· οἷον. Οὐ χάριτι τὸ πλεῖον ἢ φόβῳ ξυναγαγὼν (Θουκυδ. ξυγγρ. Ά. θ΄.). θ΄. Διαφορικὸς, ἐν τοῖς διαφορικοῖς παρατιθέμενος· οἷον. Οὐδὲν ἄλλο ἢ τοῦτο.

## Ὁ δὲ Ἧ.

ά. Ὁμοιωματικὸς· οἷον· ᾗ θέμις ἐςὶν· β΄. Τοπικὸς· οἷον· ᾗ τὸ τῶν θεῶν γένος οἰκεῖ (Πλάτ. Φαῖδρος.).

## Ὁ δὲ Ἦ μήν.

Ὅρκιος ἐςὶν· οἷον. Ὅμοσον, ἦ μὴν φυλάξαι τὰς συνθήκας (Λουκιαν. Τόξαρ. ἢ Φιλ.).

ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ
Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006